## XXVII

εἶπα καὶ ⟨αὖ⟩ πάλιν εἶπα "καλός, καλός." ἀλλ' ἔτι φήσω
ὡς καλός, ὡς χαρίεις ὄμμασι Δωσίθεος.
οὐ δρυὸς οὐδ' ἐλάτης ἐχαράξαμεν οὐδ' ἐπὶ τοίχου
τοῦτ' ἔπος, ἀλλ' ἐν ἐμῇ ἴσχετ' ἔρως κραδίᾳ.
εἰ δέ τις οὐ φήσει, μὴ πείθεο· ναὶ μὰ σέ, δαῖμον, 5715
ψεύδετ', ἐγὼ δὲ λέγειν ἀτρεκὲς οἶδα μόνος.

## XXVIII

πτανὸς Ἔρως, σὺ δὲ ποσσὶ ταχύς, τὸ δὲ κάλλος ὁμοῖον 5717
ἀμφοτέρων. τόξοις, Εὔβιε, λειπόμεθα.

## XXIX

Μάγνης Ἡράκλειτος, ἐμοὶ πόθος, οὔτι σίδηρον
πέτρῳ, πνεῦμα δ' ἐμὸν κάλλει ἐφελκόμενος. 5720

## XXX

πυγῇ νικήσαντα τὸν Ἀντικλέους Μενέχαρμον 5721
λημνίσκοις μαλακοῖς ἐστεφάνωσα δέκα,
καὶ τρισσῶς ἐφίλησα πεφυρμένον αἵματι πολλῷ,
ἀλλ' ἐμοὶ ἦν σμύρνης κεῖνο μελιχρότερον.

## XXXI

θαρσαλέως τρηχεῖαν ὑπὸ σπλάγχνοισιν ἀνίην 5725
οἴσω καὶ χαλεπῆς δεσμὸν ἀλυκτοπέδης·